Cours de littérature grecque
Semestre d’automne 2024
**Histoire générale de la littérature grecque**
Lectures en marge du cours de littérature n° 12

**Chariton,** ***Les récits amoureux sur Chéréas et Callirhoé*** **1.8.1 – 1.9.2**
Callirhoé se réveille dans son tombeau.

**8.1** Οὗτοι μὲν δὴ ταῦτα ἔπραττον· τὰ δὲ περὶ Καλλιρόην [δευτέραν] ἄλλην ἐλάμβανε παλιγγενεσίαν, καί τινος ἀνέσεως ταῖς ἀπολειφθείσαις ἀναπνοαῖς ἐκ τῆς ἀσιτίας ἐγγενομένης, μόλις καὶ κατ’ ὀλίγον ἀνέπνευσεν· ἔπειτα κινεῖν ἤρξατο κατὰ μέλη τὸ σῶμα, διανοίγουσα δὲ τοὺς ὀφθαλμοὺς αἴσθησιν ἐλάμβανεν ἐγειρομένης ἐξ ὕπνου καὶ ὡς συγκαθεύδοντα Χαιρέαν ἐκάλεσεν.

**8.2** ἐπεὶ δὲ οὔτε ὁ ἀνὴρ οὔτε αἱ θεραπαινίδες ἤκουον, πάντα δὲ ἦν ἐρημία καὶ σκότος, φρίκη καὶ τρόμος τὴν παῖδα κατελάμβανεν οὐ δυναμένην τῷ λογισμῷ συμβαλεῖν τὴν ἀλήθειαν. μόλις δὲ ἀνεγειρομένη στεφάνων προσήψατο καὶ ταινιῶν· ψόφον ἐποίει χρυσοῦ τε καὶ ἀργύρου· πολλὴ δὲ ἦν ἀρωμάτων ὀσμή.

**8.3** τότ’ οὖν ἀνεμνήσθη τοῦ λακτίσματος καὶ τοῦ δι’ ἐκεῖνο πτώματος, μόλις τε τὸν ἐκ τῆς ἀφωνίας ἐνόησε τάφον. ἔρρηξεν οὖν φωνήν, ὅσην ἐδύνατο †ζῶσα καὶ βοηθεῖτε.† ἐπεὶ δὲ πολλάκις αὐτῆς κεκραγυίας οὐδὲν ἐγίνετο πλέον, ἀπήλπισεν ἔτι τὴν σωτηρίαν καὶ ἐνθεῖσα τοῖς γόνασι τὴν κεφαλὴν ἐθρήνει λέγουσα “οἴμοι τῶν κακῶν· ζῶσα κατώρυγμαι μηδὲν ἀδικοῦσα καὶ ἀποθνήσκω θάνατον μακρόν.

**8.4** ὑγιαίνουσάν με πενθοῦσι. τίνα τίς ἄγγελον πέμψει; ἄδικε Χαιρέα, μέμφομαί σε οὐχ ὅτι με ἀπέκτεινας, ἀλλ’ ὅτι με ἔσπευσας ἐκβαλεῖν τῆς οἰκίας. οὐκ ἔδει σε ταχέως θάψαι Καλλιρόην οὐδ’ ἀληθῶς ἀποθανοῦσαν. ἀλλ’ ἤδη τάχα τι βουλεύῃ περὶ γάμου.”

**9.1** Κἀκείνη μὲν ἐν ποικίλοις ἦν ὀδυρμοῖς· ὁ δὲ Θήρων φυλάξας αὐτὸ τὸ μεσονύκτιον ἀψοφητὶ προσῄει τῷ τάφῳ, κούφως ταῖς κώπαις ἁπτόμενος τῆς θαλάσσης. ἐκβαίνων δὲ πρῶτον ἐπέταξε τὴν ὑπηρεσίαν <τὸν τρόπον> τοῦτον.

**9.2** τέσσαρας μὲν ἀπέστειλεν ἐπὶ κατασκοπήν, εἴ τινες προσίοιεν εἰς τὸν τόπον, εἰ μὲν δύναιντο, φονεύειν· εἰ δὲ μή, συνθήματι μηνύειν τὴν ἄφιξιν αὐτῶν· πέμπτος δὲ αὐτὸς προσῄει τῷ τάφῳ. τοὺς δὲ λοιποὺς (ἦσαν γὰρ οἱ σύμπαντες ἑκκαίδεκα) μένειν ἐπὶ τοῦ κέλητος ἐκέλευσε καὶ τὰς κώπας ἔχειν ἐπτερωμένας, ἵνα, ἐάν τι αἰφνίδιον συμβαίνῃ, ταχέως τοὺς ἀπὸ γῆς ἁρπάσαντες ἀποπλεύσωσιν.